

ἔπεσι τοῦ μετωπίου ἄνωθεν παρέγραψα.

ἐλθὼν ἐξαπάτησε



τὸν σπόρον αὔξανουσα σεληναίης ὑγρότησι:
οὕνεκα καὶ κερόεντα πέλει, καὶ ἄμαξαν ἰθύνει.
τῆς ἱέρειαν ἔθεντο πανέλληνες τὴν κούρην,
τὴν δ' ἔλαφον ῥέζουσιν[b] παραΐξασαν ὁμίλῳ.
καὶ τότ' ἀργοπλόους[i] ἀνέμους ἐφέηκε σελήνη, forte ψυχροπνόους.
ζηνὸς φραδμοσύνῃσιν, ἐν[k] οὐρανοῦ ἀστερόεντος
οὔρεα φυσιόωντας, ἐπὶ τροίην ἀνάγοντας.
ἀργεῖοι δ' ἀνάγοντο, καὶ ἐς τροίην ἐπέπλωον,
ἐκ πλατάνοιο μαθόντες ἤδ'[l] ἀπὸ δράκοντος πάντα.

b. γρ. ῥέζουσι. i. scribe, ἀρ' ὑγροπλόους. k. tmesis, pro ἐμφυσιόωντας. l locum corruptum legerim ἰδ' αὖ ἀπὸ πάντα δράκοντος. in ms. iam ἤδ' in ἰδ' γρ. reformatum.

30. ΕΛΘΩΝ ΕΞΑΠΑΤΗΣΕ. ἀπλοίας γὰρ καταχούσης ἐν αὐλίδι[27] τοὺς ἕλληνας, ὑποθήκαις τοῦ μάντεος ὀδυσσεὺς, καὶ πλαστοῖς γράμμασι ὡς ἀπὸ ἀγαμέμνονος ἐλθὼν, ἠπάτησε κλυταιμνήστραν, καὶ ἦγε τὴν ἰφιγένειαν ὡς ἀχιλλεῖ δῆθεν νυμφευθησομένην. καὶ οἱ μὲν τῶν ἱστορικῶν ἀγαμέμνονος λέγουσι θυγατέρα ταύτην τὴν ἰφιγένειαν ἐκ κλυταιμνήστρας. ἕτεροι δὲ, ὧν καὶ δοῦρις ὁ σάμιος, θυγατέρα ἑλένης φασὶ τὴν ἰφιγένειαν, θυγατροθετηθῆναι δὲ ὑπὸ κλυταιμνήστρας. ἄλλοι δὲ οὔτε κλυταιμνήστρας αὐτὴν λέγουσιν, οὔτε ἑλένης: ἀγαμέμνονι δὲ ἐκ τῆς χρύσου θυγατρὸς, χρύσην υἱὸν γεγεννηκέναι, καὶ ταύτην τὴν ἰφιγένειαν. μετὰ δὲ τὴν τρωϊκὴν ἅλωσιν ἄλλων ἄλλῃ διασπαρέντων τῇ ναυαγίᾳ καὶ τῷ χειμῶνι, χρύσης μὲν παρὰ χρυσόπολιν τῆς προποντίδος τοῦ εὐξείνου τελευτᾶν[28]: τὴν δὲ αὐτοῦ ἀδελφὴν ἰφιγένειαν ταυροσκύθαι λῃσάμενοι τῆς σελήνης ἀρτέμιδος ποιοῦσιν ἱέρειαν.

Tzetza ad Lycophr. v. 183. Antoninus Liberalis μεταμ. alii. antoninus

Euripides Iphigenia in Aulide, & ante Homerus, qui tamen Iphianassam vocat. Anton. Lib. l.d.

Etymol. M. in χρυσόπολις. Stephanus ex Dionysio Byzantino.

27. γρ. αὐλίδι, & mox μάντεως deinque γράμμασιν. 28 γρ. τελευτᾷ ut Tzetzes ad Lycophronem habet, vel excidit ἐτύγχανε.

http://digital.slub-dresden.de/ppn346492408/11